*δέον ἐκ τῶν ἐννέα τὸν ἄριστον ἐπὶ τῇ τύχῃ ποιουμένου καὶ
διακληροῦντος.' 'ἀλλ' ὁρᾷς' ἔφην 'ὅτι κἀκεῖνος ἐπὶ τὸν
κλῆρον ἑαυτὸν ἔταξεν, ὥστε τοῦ φρονιμωτάτου βραβεύον-*
1108 *τος γενέσθαι τὸν κατάλογον,* | *'ἐκ δ' ἔθορε κλῆρος κυ-
νέης, ὃν ἄρ' ἤθελον αὐτοί, Αἴαντος'* (*Η* 182). *οὐ μὴν
ἀλλ' εἰ σὺ προστάττεις ἑλέσθαι, 'πῶς ἂν ἔπειτ' Ὀδυσῆος
ἐγὼ θείοιο λαθοίμην;'* (*Κ* 243) *ὅρα δὴ καὶ σκόπει, πῶς
ἀμυνῇ τὸν ἄνδρα.' καὶ ὁ Ἀριστόδημος 'ἀλλ' οἶσθα' ἔφη
'τὸ τοῦ Πλάτωνος, ὅτι τῷ παιδὶ χαλεπήνας οὐκ αὐτὸς
ἐνέτεινε πληγὰς ἀλλὰ Σπεύσιππον ἐκέλευσεν, εἰπὼν αὐτὸς
ὀργίζεσθαι. καὶ σὺ τοίνυν παραλαβὼν κόλαζε τὸν ἄνθρω-
πον ὅπως βούλει· ἐγὼ γὰρ ὀργίζομαι.' τὰ αὐτὰ δὴ καὶ
τῶν ἄλλων παρακελευομένων 'λεκτέον μέν' ἔφην 'ἄρα,*
B *φοβοῦμαι δὲ μὴ δόξω καὶ αὐτὸς ἐσπουδακέναι μᾶλλον ἢ
δεῖ πρὸς τὸ βιβλίον ὑπ' ὀργῆς, δι' ἀγροικίαν καὶ βωμο-
λοχίαν καὶ ὕβριν τοῦ ἀνθρώπου χόρτον τινὰ προβάλλον-
τος . . . ήσεως Σωκράτει καί, πῶς εἰς τὸ στόμα τὸ σιτίον
οὐκ εἰς τὸ οὖς ἐντίθησιν, ἐρωτῶντος. ἀλλ' ἴσως ἂν ἐπὶ
τούτοις καὶ γελάσειέ τις ἐννοήσας τὴν Σωκράτους πραό-
τητα καὶ χάριν, 'ὑπέρ γε μέντοι παντὸς Ἑλλήνων στρα-
τοῦ' τῶν ἄλλων φιλοσόφων, ἐν οἷς Δημόκριτός ἐστι καὶ
Πλάτων καὶ Στίλπων καὶ Ἐμπεδοκλῆς καὶ Παρμενίδης
καὶ Μέλισσος, οὕτω κακῶς ἀκηκοότων, οὐ μόνον 'αἰ-
σχρὸν σιωπᾶν', ἀλλ' οὐδ' ὅσιον ἐνδοῦναί τι καὶ ὑφελέ-
σθαι τῆς ἄκρας ὑπὲρ αὐτῶν παρρησίας εἰς τοῦτο δόξης*
C *φιλοσοφίαν προαγαγόντων.* *καίτοι τὸ μὲν ζῆν οἱ γο-
νεῖς μετὰ τῶν θεῶν ἡμῖν ἔδωκαν, παρὰ δὲ τῶν φιλοσό-
φων δίκης καὶ νόμου συνεργὸν οἰόμεθα λόγον ἐπιθυμιῶν
κολαστὴν λαβόντες εὖ ζῆν· τὸ δ' εὖ ζῆν ἐστι κοινωνικῶς
ζῆν καὶ φιλικῶς καὶ σωφρόνως καὶ δικαίως. ὧν οὐθὲν*